## Werk

**Titel:** Fragment Leons über die Bedeutung von Sonnen- und Mondfinsternissen

**Autor:** Hertlein, F. C.

**Ort:** Berlin

**Jahr:** 1874

**PURL:** https://resolver.sub.uni-goettingen.de/purl?509862098_0008|log26

## Kontakt/Contact

Digizeitschriften e.V.
SUB Göttingen
Platz der Göttinger Sieben 1
37073 Göttingen

info@digizeitschriften.de

# FRAGMENT LEONS ÜBER DIE BEDEUTUNG VON SONNEN- UND MONDFINSTERNISSEN.

Dieselbe Handschrift der Marcusbibliothek Nr. 366, aus welcher ich das Edict Julians mitgetheilt habe, enthält auch fol. rect. 263 von Zeile 18 an bis zur letzten Zeile fol. vers. ein Fragment aus einer astrologischen Schrift, überschrieben:

*περὶ ἡλιακῆς ἐκλείψεως τῆς ἐν τῷ βασιλικῷ τριγώνῳ τοῦ σοφωτάτου Λέοντος.*

*Ἐπὶ τοῦ βασιλικοῦ τριγώνου, κριοῦ φημὶ λέοντος καὶ τοξότου, γινομένης ἡλιακῆς ἐκλείψεως ἀνάγκη τινὰ τῶν περὶ τὴν βασιλείαν αὐτὴν παθεῖν τοιοῦτον, ὁποῖον συμβαίνει τῷ περὶ τὸ τρίγωνον. εἰ δὲ περὶ τὴν ἑῴαν ἢ περὶ τὴν ἑσπέραν μέλλει τοῦτο συμβαίνειν, ἐξ αὐτοῦ τοῦ πάσχοντος τοῦτο φωστῆρος γενήσεται δῆλον τῷ τὸν μὲν ἥλιον ἐκ τῆς Ἀσίας διὰ παντὸς ἀνίσχειν, τὴν δὲ σελήνην ἐκ τῆς Εὐρώπης. ἐκεῖνο προσεπιθεωρούμενον, ὡς, ὅταν ἔκλειψις (ἐν) λέοντι γένηται, τοῖς μὲν βασιλεῦσι κάκωσιν μηνύει τινά, τὸν δὲ Νεῖλον ἀποστρέφει· ὥστε καὶ θαυμάζειν εἰκότως τὴν θεοῦ πρόνοιαν ἔστι, παρ᾽ ὅλον τὸν τῆς εὐτυχεστάτης ταύτης βασιλείας καιρὸν ἐκλείψεως ἐπὶ τούτου τοῦ ζῳδίου μὴ γενομένης.*

*Ταῦτα περὶ ἡλιακῶν ἐκλείψεων εἴρηται ἐν τῷ πρώτῳ καὶ βασιλικῷ τετραγώνῳ. μηνὶ ἰανουαρίῳ περὶ ἐκλείψεως ἡλίου καὶ σελήνης. ἐὰν ἐν αἰγοκέρωτι ὁ ἥλιος ἐκλείπῃ*

---

1 *τριγόνῳ* c. *σοφοτάτου* c. 5 *συμβαί* c. 6 *τὸ* ist von einer neueren Hand übergeschrieben. *τρίγονον* c. 9 *σελήνην*] ☽ c. 11 *ἐν* fehlt. 14 *βασιλείας*] *βασιλεῖ* c. 18 *ἡλίου καὶ σελήνης*] ☉ *καὶ* ☽ c. *ἥλιος*] ☉ c.

*ὥρᾳ πρώτῃ ἢ δευτέρᾳ ἢ τρίτῃ, Περσικὸς ἔσται πόλεμος, καὶ τοῖς οἰκοῦσι πρὸς νότον ἐπέλευσις πολλῶν κακῶν ἔσται· ὥρᾳ δὲ τετάρτῃ, πέμπτῃ, ἕκτῃ σημαίνει Ἐλυμαΐδι, Περσίδι, Γερμανίᾳ, Ἰνδίᾳ τῇ πρὸς ἀνατολὴν καὶ ἀπηλιώτην πτῶσιν· ἐὰν ὥρᾳ ἑβδόμῃ, ὀγδόῃ καὶ ἐνάτῃ, τοῖς ἐν Πόντῳ πόλεμον καὶ Ἀσίᾳ καὶ Κύπρῳ καὶ τοῖς πρὸς νότον σκηνοῦσι ταῦτα δηλοῖ. ἔτι δὲ καὶ νόσοι καὶ φθοραὶ καὶ ἀπώλειαι καρπῶν καὶ τῆς γῆς, ἐὰν δὲ ὥρᾳ δεκάτῃ, ἐνδεκάτῃ, δωδεκάτῃ, τετραπόδων ἔσονται διαφθοραὶ ἐν τοῖς περὶ δύσιν.*

*Περὶ σελήνης. ἐὰν δὲ ἡ σελήνη ἐν τῷ αὐτῷ αἰγοκέρωτι ὥρᾳ πρώτῃ, δευτέρᾳ, τρίτῃ ὅλη ἐκλείπῃ, ἀνὴρ μέγας ἐπιστρατεύσει ἀπὸ τῆς Ἀσίας [ἐν] τῇ Αἰγυπτίων χώρᾳ καὶ τὸν ἡγούμενον αὐτῶν λήψεται, τὸν πολὺν δὲ λαὸν [τὸν μὲν] ὑποχείριον λαβὼν φονεύσει. μετὰ δὲ τὴν τούτου ἀπαλλαγὴν ἐμφύλιος πόλεμος ἔσται καὶ ὀχλοκρατία, καὶ ἄνθρωποι μεγάλοι οἱ μὲν εἰς ἀνάγκας ἀφίξονται, οἱ δὲ ἐξ αὐτῶν ἀγρίῳ μόρῳ κατακοπήσονται, ἡ δὲ χώρα ἀκαταστατήσει καὶ ἀπὸ τοῦ ἡγουμένου ἀποστήσεται, καὶ κατασφαγαὶ ἀνθρώπων ἔσονται, καὶ ἄλλος τὰ ἄλλου ἀφελεῖται, καὶ τὸν ἀλλότριον καρπὸν ἀροῦνται, ἅτε δή ποτε τῶν αὐτῶν ἐνδείᾳ καὶ ἀπορίᾳ πιεζομένων, καὶ τοῖς ἀθίκτοις τὰς χεῖρας ἐπιβαλοῦσιν. ἐὰν δὲ ⟨ὥρᾳ⟩ πέμπτῃ, ἕκτῃ, ἑβδόμῃ καὶ ὀγδόῃ, νοσήματα ἔσται περιοδικὰ τοῖς ἀνθρώποις ἀπὸ ἀνατολῆς ἕως δύσεως· καὶ Φοινίκη ὑπὸ τῶν ἔξω πολεμίων πολιορκηθήσεται, ἡ δὲ νῆσος ἡ καλουμένη Κύπρος ὑπὸ δυνάστου τινὸς ἐπιβουλευθήσεται. ἀλλ' οὐδὲν [οὐ] μὴ πράξει ὁ ἐπιβουλεύων διὰ τὸ ἐπικοινωνεῖν τῷ αἰγοκέρωτι τὸ τῆς Ἀμαλθείας ζῴδιον, ὃ οὐδ' ἔστιν ἀκέφαλον. ἐὰν ἐνάτης, δεκάτης καὶ ἑνδεκάτης ἑωθινῆς ὥρας καὶ μέρος τι τοῦ ἐλλείμματος πρὶν ἢ κρυβῆναι ἀποκαθαρθῆναι ἔχωσι, κατὰ δύσιν στράτευμα ἐπὶ τὴν Ἀσίαν ἐπελεύσεται, καὶ ὁ δυναστεύων ὑπὸ τῶν ἰδίων*

---

1 *ὥρᾳ*] ῴ c, und so immer. Die folgenden Zahlen sind stets mit Buchstaben geschrieben. 13 *ἐπιστρατεύσῃ* c. *ἐν* u. 15 *τὸν μέν* habe ich eingeklammert als verkehrte Einschiebsel. *μέν* gehört aber vielleicht vor *ἡγούμενον.* 21 *ἀροῦνται*] *ἀρυοῦνται* c. 23 *ὥρᾳ* fehlt in c. 26 *πολεμίων*] *πόλεων* c. *νῆσος*] *δῆλος* c. 29 *ἀμαλθίας* c. 30—32 Die verdorbenen Worte *ἐὰν ἐνάτης* bis *ἔχωσι* vermag ich nicht zu verbessern.

*καταληφθήσεται, καὶ οἱ πεπιστευμένοι φίλοι ἐξ αὐτοῦ προδώσουσιν αὐτόν, καὶ φόνοι πολλοὶ καὶ προσβολαὶ ἔσονται ὑπὸ τῶν ἀστῶν πολιορκούντων, καὶ ὁ δυναστεύων ἀπολεῖται, καὶ ἕτερος διαδέξεται τὴν ἐξουσίαν. μετὰ δὲ τὴν ἄκαιρον περίστασιν προσεπιβουλεύσαντες τούτῳ δυνάσται ἐν τῇ τούτου οἰκίᾳ παθόντες ἀντίποινα τὴν ὁμοίαν (ἐν) τούτῳ τῷ τόπῳ λήψονται καταστροφήν. ἕτεροι δὲ πάλιν διαδέξονται τὴν τούτων ἐξουσίαν, οἵτινες τὰ ὑπὸ τούτων θεμελιωθέντα μεταθήσουσι, καὶ οἱ κάκιστοι τῶν κρεισσόνων ἐπίπροσθεν ἔσονται, οἱ δὲ κρείσσονες καὶ οἱ ἔνδοξοι ἀπαρρησίαστοι περιπατήσουσιν. ἀλλὰ κατὰ φορὰν ἄντικρυς τὸ θεῖον τὴν πρόνοιαν τῶν ἐπταικότων ποιήσεται, καὶ ἀπολήψονται τὴν ἀρχαίαν στάσιν παρ᾽ ἐλπίδα.*

*Μηνὶ Φεβρουαρίῳ. Ἐὰν (ἐν) τῷ ὑδροχόῳ ὁ ἥλιος ἐκλείπῃ ὥρᾳ πρώτῃ, δευτέρᾳ καὶ τρίτῃ, τῷ Πέρσῃ σημαίνει στάσιν, Ἀραβίᾳ καὶ Συρίᾳ, Αἰγύπτῳ, Αἰθιοπίᾳ, Λιβύῃ καὶ τῇ πρὸς ἑσπέραν καὶ ζέφυρον ὅλην ἐπαλλήλων συστροφήν· ὥρᾳ δὲ τετάρτῃ, πέμπτῃ καὶ ἕκτῃ ἔνεδραι πολλαὶ ἔσονται, πάντα δὲ ἀπολεῖται μετ᾽ ὀλίγον, καὶ οἱ καρποὶ βλαστήσαντες καλῶς ἐπὶ σῆψιν ἔσονται. ἐὰν δὲ ὥρᾳ ἑβδόμῃ, ὀγδόῃ, ἐνάτῃ καὶ δεκάτῃ Ἰταλίᾳ, Κιλικίᾳ, Λιβύῃ καὶ τῇ Λακωνικῇ ἀρίσταις πόλεσιν ἔσται πρὸς ἀλλήλας. τὰ δὲ αὐτὰ συμβήσεται καὶ ἑνδεκάτῃ καὶ δωδεκάτῃ ὥρᾳ. ἐὰν δὲ ἡ σελήνη ἐκλείπῃ οὖσα ἐν ὑδροχόῳ ὥρᾳ πρώτῃ, δευτέρᾳ, τρίτῃ καὶ τετάρτῃ ὅλη ἢ τὰ δύο μέρη, τοῖς ἐν Κιλικίᾳ ἐκ τῶν ὑπεράνω πολλὰ σκληρὰ καὶ βαρέα ἐπιρριφήσεται. πέμπτῃ, ἕκτῃ ὥρᾳ περὶ Κύπρον ἔσται ὅ τι ἀπὸ τῶν καινῶν λυπηρόν, Τυρρηνοὶ δὲ καὶ Ἰταλοὶ νόσοις χαλεπαῖς περιπεσοῦνται. δεκάτῃ, ἑνδεκάτῃ, δωδεκάτῃ ὥρᾳ οἱ ἐν τῇ Λιβύῃ γενόμενοι πολεμήσουσι τοὺς τὰς πόλεις οἰκοῦντας, καὶ πολὺς λαὸς ἀπολεῖται, τούς τε καρποὺς αὐτῶν ἄλλοι τρυγήσουσι, καὶ αὐτοὶ ἀποκλεισθήσονται.*

---

6 τούτων (ου above ων) c. ἀντάποινα c. 7 ἐν fehlt in c. καὶ καταστροφήν c. 9 θεμελιωθέντες c. 10 ἔμπροσθεν c. 11 καταφορὰν c. 14 ἐν fehlt in c. ἥλιος] ☉ c. 16 ἀρραβία c. 17 ὅλην] ὅλων c. 22 λακονικῇ c. ἀρίσταις πόλεσιν] στάσις καὶ πόλεμος? 24 σελήνη] ☾ c. ἐκλείπῃ] ἐκλείψει c. 26 ὑπὲρ ἄνω c. 28 καινῶν] κακῶν? τυρρήνιοι c.

*Μηνὶ Μαρτίῳ. Ἐὰν ἐν ἰχθύσιν ὁ ἥλιος ἐκλείπῃ ὥρᾳ πρώτῃ, δευτέρᾳ, τρίτῃ ὅλος ἢ τὰ δύο μέρη, ὁ τῆς Ἀσίας ἡγούμενος ὑπὸ βαρβάρου ἔθνους ταπεινωθήσεται καὶ πολλὰς ὑπάρξεις ἀποβαλεῖ· μετὰ δὲ ἔτη τέτταρα ἢ ἔτι μικρῷ πλεῖον ἄλλος τὴν ἐξουσίαν παραλήψεται. ἐὰν δὲ (ὥρᾳ) τετάρτῃ, πέμπτῃ καὶ ἕκτῃ, ἐν Αἰγύπτῳ πένθος. ἐὰν δὲ περὶ μέσον ἡμέρας ἐκλείπῃ, ἄτοπα πολλὰ καὶ χαλεπὰ ἐξ ὄχλων ἐν Αἰγύπτῳ καὶ Συρίᾳ ἔσται. ἐὰν δὲ ἑβδόμῃ, ὀγδόῃ ὥρᾳ, Ἀρμενίᾳ, Καππαδοκίᾳ, Ἰωνίᾳ, Λυδίᾳ, Ἑλλησπόντῳ τὰ ἐμφανέστερα τῶν κακῶν ἔσται.*

1 ἰχθῦσιν c. ἥλιος] θ c. 4 ἀποβαλεῖ] μεταβαλεῖ c. ἔτι] ἐπὶ c.

F. C. HERTLEIN.